*Ὠδὴ δ΄. Ὁ Εἱρμὸς*

»Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ μυ-
»στήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά
»σου τὴν Θεότητα.

**Τροπάρια**

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

*Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*

Εὐσπλαγχνίας τὴν ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ σωτῆρα πάντων τῶν ὑμνούντων σε.

**Δόξα Πατρί...**

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων εὐχαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα.

**Καὶ νῦν...**

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχε-

ρείας πάσης ἐκλυτρούμεθα.